eul_wid: sfm-aa

*Οὐράνιος ὁ ἱστορικός* · Uranius the Historian

# Fragments on Arabia

*Ἀποσπάσματα περὶ Ἀραβίας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1a-31 ΑΡΑΒΙΚΑ. E LIBRO PRIMO.

1a Steph. Byz.: Αὔαθα καὶ Αὔαρα, οὐδετέρως, συνοικία Ἀράβων, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῃ. Οἱ οἰκήτορες Αὐαθηνοὶ καὶ Αὐαρηνοί. Idem: Αὔαρ α, πόλις Ἀραβίας, ἀπὸ χρησμοῦ δοθέντος Ὀβόδᾳ κληθεῖσα ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀρέτα.

1b Ἐξώρμησε γὰρ Ἀρέτας εἰς ἀναζήτησιν τοῦ χρησμοῦ· ὁ δὲ χρησμὸς ἦν, Αὔαρα τόπον ζητεῖν, ὅ ἐστι κατὰ Ἄραβας καὶ Σύρους λευκήν· καὶ φθάσαντι τῷ Ἀρέτᾳ καὶ λοχῶντι ἐφάνη φάσμα αὐτῷ λευκοείμων ἀνὴρ ἐπὶ λευκῆς δρομάδος προϊών· ἀφανισθέντος δὲ τοῦ φάσματος σκόπελος ἀνεφάνη, αὐτόματος κατὰ γῆς ἐρριζωμένος, κἀκεῖ ἔκτισε πόλιν. Τὸ ἐθνικὸν Αὐαρηνός. Idem: Σέννονε ς , ἔθνος Γαλατικὸν, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῳ. [5]

3 Idem: Σίγγαρ α , πόλις Ἀραβίας πρὸς τῇ Ἐδέσσῃ, ὡς Οὐράνιος ἐν πρώτῳ Ἀραβικῶν. Ὁ πολίτης Σιγγαρηνός. Idem: Χατραμωτῖτι ς , χώρα πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης.

4 Οἱ πολῖται Χατραμωτῖται. Στράβων ἑκκαιδεκάτῃ ... Οὐράνιος δ’ ἐν πρώτῳ Ἀραβικῶν Χατραμώτας αὐτοὺς καλεῖ· «Καμηλοκόμοι Χατραμῶται, Σαβαῖοι καὶ Ὁμηρῖται.» E LIBRO SECUNDO. [5]

5 Idem: Αἰαμήν η , Ναβαταίων χώρα, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Αἰαμηνός. Idem: Αἰανῖτις, Ναβαταίων χώρα.

6 Οὐράνιος Ἀραβικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Αἰανίτης. Idem: Ἐρυθρὰ ἡ θάλασσ α , ἀπὸ Ἐρύθρου τοῦ ἥρωος.

7 Οὐράνιος δ’ ἐν Ἀραβικῶν δευτέρᾳ· ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἃ ἐρυθρὰ δεινῶς εἰσι καὶ πορφυρᾶ, καὶ ἐπὴν βάλλῃ εἰς αὐτὰ ὁ ἥλιος τὴν αὐγὴν, καταπέμπει εἰς τὴν θάλασσαν σκιὰν ἐρυθράν· καὶ ὄμβρῳ δὲ κατακλυσθέντων τῶν ὀρέων κάτω συρρέοντι εἰς θάλασσαν, οὕτω γίγνεται ἡ θάλασσα τὴν χρόαν. Idem: Μήδαβα, πόλις τῶν Ναβαταίων. [5]

8 Ὁ πολίτης Μηδαβηνὸς, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Idem: Μώβα, μοῖρα τῆς Ἀραβίας.

9 Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Οἱ οἰκοῦντες Μωβηνοὶ, καὶ θηλυκῶς Μωβηνή· ἔοικε δ’ ἐνδεῖν τὸ α· ἦν γὰρ Μώαβα· καὶ τὸ ἐθνικὸν Μωαβίτης, τὸ θηλυκὸν Μωαβῖτις. Idem: Πάλμυρα, φρούριον Συρίας, οὗ μέμνηται Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ.

10

Τὸ ἐθνικὸν Παλμυρηνός. Οἱ δ᾽ αὐτοὶ Ἀδριανοπολῖται μετωνομάσθησαν ἐπικτισθείσης τῆς πόλεως ὑπὸ τοῦ αὐτοκράτορος. Idem: Ταηνοί, ἔθνος ἀπὸ τῶν Σαρακηνῶν πρὸς μεσημβρίαν, ὡς Οὐλπιανὸς ἐν Ἀραβικοῖς καὶ Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ.

t12-20a E LIBRO TERTIO. Idem: Ἀβασηνοὶ, ἔθνος Ἀραβίας.

12 Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ· «Μετὰ τοὺς Σαβαίους Χατραμῶται καὶ Ἀβασηνοί,» καὶ πάλιν· «Ἡ χώρη τῶν Ἀβασηνῶν σμύρνην φέρει καὶ ὄσσον καὶ θυμίαμα καὶ κέρπαθον· γεωργοῦσι δὲ καὶ πορφυρῆν ποίην εἰκέλην αἵματι Τυρίου κοχλίεω.» Idem: Ἄδανα . [5]

13 .. Ἔστι δὲ καὶ ἑτέρα πόλις ἐν μεσογείῳ τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιός φησιν ἐν Ἀραβικῶν τρίτῳ. Idem: Ἀτραμῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ.

14 Ἀρτεμίδωρος Ἀρταμωτίτας αὐτοὺς καλεῖ. Idem: Ἄχομαι καὶ Ἀχόμενοι, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ.

16 Idem: Ζάβιδα, κώμη ἐν τῷ μεσογείῳ τῆς εὐδαίμονος Ἀραβίας. Οὐράνιος Ἀραβικῶν τρίτῃ. Idem: Θαμουδᾶ, Ναβαταίων γείτων τῶν Ἀραβίων.

17 Οὐράνιος Ἀραβικῶν τρίτῃ. Ὁ οἰκήτωρ Θαμουδηνός. Idem: Κεβρανῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας.

18 Οὐράνιος Ἀραβικῶν τρίτῳ. Idem: Τάρφαρα, οὐδετέρως, πόλις τῆς εὐδαίμονος Ἀραβίας.

19 Ὁ πολίτης Ταρφαρηνὸς, ὡς Ζόαρα Ζοαρηνὸς, Αὔαρα Αὐαρηνὸς, ὡς Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ. Idem: Σῆρες, ἔθνος Ἰνδικὸν, ἀπροσμιγὲς ἀνθρώποις, ὡς Οὐράνιος ἐν τρίτῳ Ἀραβικῶν.

20a Tzetzes Hist. VII, 730: Οὐράνιος ἐν τρίτῳ δὲ Ἀραβικῶν που λέγει εἶναι καλάμων ἱερὸν ἄλσος ἐν Ἀραβίᾳ, ἐν οἷς καλάμοις θάπτουσι μόνους τοὺς βασιλέας, γυναῖκάς τε καὶ ἀδελφοὺς καὶ υἱέας τούτων, ἄλλον τινὰ δὲ οὐδαμῶς. Ἡ δὲ ταφὴ τοιάδε· ἓν γόνυ τι κοιλάναντες ὧν ἔφημεν καλάμων, ἐς τοῦτο θέντες τὸν νεκρὸν καὶ χρίσαντες δὲ μύρῳ, τὸν κάλαμον μὴ κόψαντες, πάλιν ἐῶσι φύειν. E LIBRO QUARTO. [5]

21 Idem: Ἀκχηνοὶ, ἔθνος Ἀράβιον, ὡς Οὐράνιός φησι τετάρτῃ, ἐπὶ τῷ αὐχένι τῆς Ἐρυθρᾶς θαλάσσης. Idem: Ἐδουμαῖοι, ἔθνος Ἀράβιον, ὡς Οὐράνιος ἐν Ἀραβικῶν τετάρτῳ.

22 Τινὲς δὲ διὰ τοῦ ι γράφουσιν, ὡς εἰρήσεταί μοι ἐν τῷ ι. Idem: Ὄβοδα, χωρίον Ναβαταίων, Οὐράνιος Ἀραβικῶν τετάρτῳ, ὅπου Ὀβόδης ὁ βασιλεὺς, ὃν θεοποιοῦσι, τέθαπται.

23 Τὸ ἐθνικὸν Ὀβοδηνὸς, ὡς Δαχαρηνός. E LIBRO QUINTO.

24 Idem: Μωθὼ, κώμη Ἀραβίας, ἐν ᾗ ἔθανεν Ἀντίγονος ὁ Μακεδὼν ὑπὸ Ῥαβίλου τοῦ βασιλέως τῶν Ἀραβίων, ὡς Οὐράνιος ἐν πέμπτῳ· ὅ ἐστι τῇ Ἀράβων φωνῇ τόπος θανάτου. Οἱ κωμῆται Μωθηνοὶ κατὰ τὸν ἐγχώριον τύπον. E LIBRIS INCERTIS. [5]

t25-31 Idem: Βραχία. Οὕτως ἡ Ἀραβικὴ θάλασσα καλεῖται. Ἐκλήθη δὲ διὰ τὸ ἐν αὐτῇ βράχη εἶναι πλεῖστα. Ἔστιν οὖν παρὰ τὸ βράχος. Τὸ τοπικὸν Βραχιάτης. Οὐράνιος δὲ Βραχιηνοὺς αὐτοὺς ἔφη. Idem: Κάρνανα, πόλις Μιναίων ἔθνους πλησίον Ἐρυθρᾶς θαλάσσης. [5]

26 Οἱ πολῖται Καρνανᾶται. Οὐράνιος δὲ Καρνανίαν καὶ Καρνανίτας φησί. Idem: Μάννεως, χώρα μέση τῶν ποταμῶν, ἐν ᾗ οἰκοῦσιν Ἄραβες Μαννεῶται, ὡς Οὐράνιός φησιν.

28 Idem: Νικηφόριον. Οὕτως ἡ Κωνσταντίνα, ἡ περὶ Ἔδεσσαν πόλις, ὡς Οὐράνιος. Τὸ ἐθνικὸν Νικηφόριος, ὡς Βυζάντιος. Idem: Νίσιβις, πόλις ἐν τῇ περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ.

29 Φίλων ἐν Φοινικικοῖς Νάσιβίς φησι διὰ τοῦ α. Οὐράνιος δὲ διὰ τοῦ ε Νέσιβις. Σημαίνει δὲ, ὥς φησι Φίλων, νάσιβις τὰς στήλας, ὡς δὲ Οὐράνιος, νέσιβις, φησὶ, σημαίνει τῇ Φοινίκων φωνῇ λίθοι συγκείμενοι καὶ συμφορητοί. Στράβων δὲ ἑκκαιδεκάτῃ διὰ τοῦ ι. Τὸ ἐθνικὸν Νισιβηνός. Idem: Νόσορα, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

30 Οὐράνιος Ἀραβικῶν * . Ὁ νησιωτὴς Νοσορηνός· ἐγχώριος ὁ τύπος. Idem: Χαράκμωβα, πόλις τῆς νῦν τρίτης Παλαιστίνης, ἣν ἀναγράφει Πτολεμαῖος ἐν Γεωγραφικοῖς ἐν πέμπτῳ βιβλίῳ ἐν ταῖς Ἀραβικαῖς τῆς εὐδαίμονος.

31 Οὐράνιος δ’ ἐν τοῖς Ἀραβικοῖς (ἀξιόπιστος δ’ ἀνὴρ περὶ τὰ τοιαῦτα· σπουδὴν γὰρ ἔθετο ἱστορῆσαι ἀκριβῶς τὰ τῆς Ἀραβίας) καὶ Μωβουχάραξ φησίν. Ὁ πολίτης τοῦ μὲν Χαράκμωβα Χαρακμωβηνός· ἐκ δὲ τοῦ Μωβουχάραξ Μωβουχαρακηνός. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org